ac multos annos inſpicere, in quibus haudquaquam poterit latere, an rectè ſe habeant. fermè enim omnia inuenta ſunt quidem, ſed alia non inducta, alia ab expertis repudiata. Maximè autem id apparet, ſi quis per opera inſpiciat rempublicam ſic inſtitutam: non aliter enim poterit feciſſe ciuitatem, niſi ſeparet illa atque diſtinguat, partim in comeſſationes, partim in genera, partim in tribus. Itaque nihil aliud contingit lege prouiſum eſſe, niſi vt cuſtodes agros non colant, quod nunc Lacedæmonij facere cœptant. Modus verò totius reipublicæ quis futurus ſit in commune degentibus, neque Socrates ipſe inquit, neque dictu facile eſt. Atqui multitudo ciuitatis diuerſorum ciuium eſt multitudo, de quibus nihil determinatum eſt, an & agricolis communes eſſe facultates oportet, vel proprias ſingulorum, præterea vtrum mulieres & pueros proprios vel communes. Si enim eodem modo communia ſunt omnia omnium, quid different iſti ab illis cuſtodibus? vel quid plus accedet ſuſtinentibus eorum imperium? vel quam ob cauſam imperium ſuſtinebunt? niſi fortè prætexunt aliquid tale quale Cretenſes, qui cætera omnia ſeruis permittentes, gymnaſia ſolum illis vetuerunt, & armorum poſſeſſionem. Quòd ſi vt in aliis ciuitatibus, ita apud illos talia erunt, quis modus erit communitatis? neceſſe eſt enim duas ciuitates in vna eſſe ciuitate, & eas inter ſe contrarias. facit enim alios quidem cuſtodes, quaſi in præſidio conſtitutos, alios agricolas, & artifices, & cæteros, ciues. Litigia verò, & iurgia, & quæcunque alia mala ciuitatibus prouenire inquit, omnia prouenient etiam iſtis, quanquam dicat Socrates fore, vt non multum legibus indigeant, propter diſciplinam, veluti circa res vrbanas, & circa forum, & aliis huiuſmodi legibus, tribuens ſolum diſciplinam cuſtodibus. Inſuper dominos facit ſuarum rerum, agricolas, ac tollere permittit. At multo magis putandum eſt fore illos graues & inſolẽtes, quàm illas quæ apud quoſdam ſunt, Iloteias, & peneſteias, & duleias. Enimuerò ſiue neceſſaria ſint hæc ſimiliter, ſiue non, nihil nunc quidem determinatũ eſt, neque de conſequentibus quæ ſit eorum adminiſtratio, & diſciplina, & leges quædam. Eſt autem neq. facile reperire, neque parum referens, quales hos eſſe oporteat

A καὶ τοῖς πολλοῖς ἔτεσιν, ἐν οἷς οὐκ ἂν ἔλαθεν εἰ ταῦτα καλῶς εἶχε. πάντα γὰρ σχεδὸν εὕρηται μὲν, ἀλλὰ τὰ μὲν οὐ συνῆκται, τοῖς δ' οὐ χρῶνται γινώσκοντες. μάλιστα δ' ἂν γένοιτο φανερὸν, εἴ τις τοῖς ἔργοις ἴδοι τὴν τοιαύτην πολιτείαν κατασκευαζομένην. οὐ γὰρ δυνήσεται μὴ μερίζων αὐτὰ καὶ χωρίζων, ποιῆσαι τὴν πόλιν, τὰ μὲν εἰς συσσίτια, τὰ δὲ εἰς φρατρίας καὶ φυλάς. ὥστε οὐδὲν ἄλλο συμβήσεται B νενομοθετημένον, πλὴν μὴ γεωργεῖν τοὺς φύλακας· ὅπερ καὶ νῦν Λακεδαιμόνιοι ποιεῖν ἐπιχειροῦσιν. οὐ μὴν ἀλλ' οὐδὲ ὁ τρόπος τῆς ὅλης πολιτείας τίς ἔσται τοῖς κοινωνοῦσιν, οὔτ' εἴρηκεν ὁ Σωκράτης, οὔτε ῥᾴδιον εἰπεῖν. καί τοι σχεδὸν τό γε πλῆθος τῆς πόλεως τὸ τῶν ἄλλων πολιτῶν γίνεται πλῆθος, περὶ ὧν οὐδὲν διώρισται πότερον καὶ τοῖς γεωργοῖς C κοινὰς εἶναι δεῖ τὰς κτήσεις, ἢ [καὶ] καθ' ἕκαστον ἰδίας· ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας ἰδίους, ἢ κοινούς. εἰ μὲν γὰρ τὸν αὐτὸν τρόπον κοινὰ πάντα πάντων, τί διοίσουσιν οὗτοι ἐκείνων τῶν φυλάκων; ἢ τί πλεῖον τοῖς ὑπομένουσι τὴν ἀρχὴν αὐτῶν, ἢ τί μαθόντες ὑπομενοῦσι τὴν ἀρχὴν, ἐὰν μή τι σοφίζωνται τοιοῦτον οἷον Κρῆτες; ἐκεῖνοι γὰρ τἄλλα ταὐτὰ τοῖς δούλοις ἀφέντες, μόνον ἀπειρήκασι τὰ γυμνάσια, καὶ D τὴν τῶν ὅπλων κτῆσιν. εἰ δὲ, καθάπερ ἐν ταῖς ἄλλαις πόλεσι, καὶ παρ' ἐκείνοις ἔσται τὰ τοιαῦτα, τίς ὁ τρόπος ἔσται τῆς κοινωνίας, ἐν μιᾷ γὰρ πόλει δύο πόλεις ἀναγκαῖον εἶναι, καὶ ταύτας ὑπεναντίας ἀλλήλαις, ποιεῖ γὰρ τοὺς μὲν φύλακας οἷον φρουροὺς, τοὺς δὲ γεωργοὺς, καὶ τοὺς τεχνίτας, καὶ τοὺς ἄλλους, πολίτας, ἐγκλήματα δὲ, καὶ δίκαι, καὶ ὅσα ἄλλα ταῖς E πόλεσιν ὑπάρχειν φησὶ κακὰ, πάνθ' ὑπάρξει καὶ τούτοις. καί τοι λέγει ὁ Σωκράτης, ὡς οὐ πολλῶν δεήσονται νομίμων διὰ τὴν παιδείαν, οἷον ἀστυνομικῶν, καὶ ἀγορανομικῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀποδιδοὺς μόνον τὴν παιδείαν τοῖς φύλαξιν. ἔτι δὲ κυρίους ποιεῖ F τῶν κτημάτων τοὺς γεωργοὺς, ἀποφορὰν φέροντας. ἀλλὰ πολὺ μᾶλλον εἰκὸς εἶναι χαλεποὺς, καὶ φρονημάτων πλήρεις, ἢ τὰς παρ' ἐνίοις εἱλωτείας τε καὶ πενεστείας, καὶ δουλείας. ἀλλὰ γὰρ εἴτ' ἀναγκαῖα ταῦθ' ὁμοίως, εἴτε μὴ, νῦν γ' οὐδὲν διώρισται· καὶ περὶ τῶν ἐχομένων τίς ἡ τούτων τε πολιτεία καὶ παιδεία, καὶ νόμοι τίνες. ἔστι δ' οὔθ' εὑρεῖν ῥᾴδιον, οὔτε τὸ διαφέρον μικρὸν, τὸ ποιούς τινας εἶναι τούτους

περὶ τὸ